ΕΚΚΛΗΣΙΑ ΓΝΗΣΙΩΝ ΟΡΘΟΔΟΞΩΝ ΧΡΙΣΤΙΑΝΩΝ
ΕΛΛΑΔΟΣ

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΩΡΩΠΟΥ ΚΑΙ ΦΥΛΗΣ

# Ἀγρυπνίαι Μετανοίας




Ἐπιμελητὴς
Μητροπολίτης Ὠρωποῦ καὶ Φυλῆς Κυπριανὸς

Ὀκτώβριος 2014



# Οἱ Ἀγρυπνίες Μετανοίας

Οἱ Ἀγρυπνίες Μετανοίας • ἔχουν καθιερωθῆ πλέον,
• καὶ τελοῦνται συνεχῶς, μὲ τὴν Χάρι τοῦ Κυρίου μας.

✠

Κάθε Παρασκευή, • στὶς 21:30΄ (9:30΄ μ.μ.) • ἀρχίζει ἱερὰ Ἀγρυπνία,
• στὸ Μοναστήρι τῆς Ἁγίας Παρασκευῆς Ἀχαρνῶν Ἀττικῆς,
καὶ • τελειώνει περίπου στὶς 01:30΄.

✠

Ἀναγινώσκονται • εἰδικὲς Δεήσεις καὶ Εὐχές, ἡ δὲ • Προστάτις
τῶν Ἀγρυπνιῶν Μετανοίας εἶναι ἡ Ἁγία Ὁσιομάρτυς Φιλοθέη ἡ Ἀθηναία,
τῆς Ὁποίας • προσκυνεῖται τὸ ἱερὸ Λείψανον (τμῆμα).

✠

Στὶς Ἀγρυπνίες Μετανοίας συμμετέχει καὶ λειτουργεῖ
• ὁ Σεβασμιώτατος Μητροπολίτης Ὠρωποῦ καὶ Φυλῆς κ. Κυπριανός.

✠

Ἡ πολύπαθος Πατρίδα μας ἐξακολουθεῖ νὰ διέρχεται μία πολὺ κρίσιμη καμπὴ καὶ ἀπαιτεῖται • ἐντονώτερη Φιλανθρωπικὴ Δράση, • προθυμότερος Ἐκκλησιαστικὸς Ἐθελοντισμός, • βαθύτερη συναίσθηση τῆς Κοινωνικῆς Ἀλληλεγγύης, • μεγαλύτερη συνειδητοποίηση τοῦ Συνυπεύθυνου, ἀλλὰ βεβαίως καὶ • αὔξηση τῆς Μετανοητικῆς Προσευχῆς καὶ Ἀγάπης.

✠

## Οἱ Ἀγρυπνίες Μετανοίας Ἐκπέμπουν ἕνα Ἰσχυρὸ Μήνυμα

Ὄχι στὴν Ἑλλάδα τῆς • μιζέριας! τῆς • μεμψιμοιρίας! τῆς • μοιρολατρίας!
τῆς • ἀδράνειας! τῆς • κατάθλιψης! καὶ τῆς • φιλαυτίας!

Ναὶ στὴν Ἑλλάδα τῆς • Ἐλπίδας! τῆς • Δημιουργικότητας!
τῆς • Θυσίας! τοῦ • Φωτός! τοῦ • Πολιτισμοῦ! καὶ τῶν • Ὁραμάτων!



# Ἀγρυπνίαι Μετανοίας

## Ὑπόμνημα

**α.** Ἐξηγγέλθησαν κατὰ τὴν Ἀγρυπνίαν ἐπὶ τῇ ἱερᾷ Μνήμῃ τῆς Ἁγίας Ὁσιομάρτυρος Φιλοθέης τῆς Ἀθηναίας, τὴν 19ην Φεβρουαρίου 2013, ἐτέθησαν δὲ ὑπὸ τὴν ἰδιαιτέραν Αὐτῆς Προστασίαν.

**β.** Ἡ πρώτη ἐπραγματοποιήθη, χάριτι Θεοῦ, τὴν Παρασκευὴν τῆς Τυρινῆς, 2αν πρὸς 3ην Μαρτίου 2013, εἰς τὴν Ἱερὰν Γυναικείαν Μονὴν τῆς Ἁγίας Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς Ἀχαρνῶν Ἀττικῆς.

**γ.** Ἑκάστη ἄρχεται διὰ τῆς *Τάξεως τοῦ Συντόμου Μεσονυκτικοῦ,* ὡς τοῦτο διεμορφώθη καταλλήλως.

**δ.** Κατὰ τὸν Ὄρθρον, καταλιμπάνονται οἱ Κανόνες τῆς ἡμέρας, Παρακλητικῆς καὶ Μηναίου (καὶ τοῦ Τριωδίου-Πεντηκοσταρίου, ἂν συμπέσῃ εἰς τὴν περίοδον αὐτῶν), ἀναγινώσκονται δὲ μόνον οἱ Κανόνες τῆς Θεοτόκου ἐκ τοῦ Μικροῦ Κανόνος καὶ τῆς Ἁγίας Ὁσιομάρτυρος Φιλοθέης.

● Ψάλλονται πάντοτε οἱ Αἶνοι τῆς Ἁγίας Φιλοθέης (ἐκτὸς ἐὰν συμπέσῃ ἑορταζόμενος Ἅγιος), ἐπίσης δὲ Μεγάλη Δοξολογία.

**ε.** Κατὰ τὴν Θείαν Λειτουργίαν, ἀντὶ τῶν τριῶν συνήθων Εὐχῶν τῶν Ἀντιφώνων Α΄, Β΄ καὶ Γ΄, πρὸ τῆς Εἰσόδου τοῦ Εὐαγγελίου, ἀναγινώσκονται ἀντιστοίχως τρεῖς ἕτεραι Εὐχαί, ἀπευθυνόμεναι τῷ Θεῷ Πατρί: **ἡ πρώτη,** εἶναι ἡ γνωστὴ Προσευχὴ Μανασσῆ Βασιλέως τῆς Ἰουδαίας, ἐκ τοῦ Μεγάλου Ἀποδείπνου, μέ τινας ἐπεμβάσεις ἡμετέρας· **ἡ δευτέρα καὶ ἡ τρίτη,** εἶναι τμήματα Εὐχῶν ἐκ τοῦ Προσευχηταρίου τοῦ Ἀνδρέου

Δ.Σιμωνὼφ (ἔκδ. γ΄, Βόλος 1964, Σωτ. Σχοινᾶ), διαμεμορφωμένα καταλλήλως καὶ συμπληρωθέντα, πρὸς ἐναρμονισμὸν μὲ τοὺς σκοποὺς τῶν *Ἀγρυπνιῶν Μετανοίας* (βλ. συνημμένως).

● Αἱ τρεῖς αὗται Εὐχαὶ ἀναγινώσκονται ἐκφώνως ὑπὸ τοῦ Λειτουργοῦ, γονυπετοῦντος μεθ᾽ ὅλου τοῦ ἐκκλησιάσματος, ἡ μὲν πρώτη μετὰ τὰ Εἰρηνικὰ καὶ πρὸ τῆς ἐκφωνήσεως, αἱ δὲ λοιπαὶ μετὰ τὰς Μικρὰς Συναπτὰς καὶ πρὸ τῶν ἐκφωνήσεων αὐτῶν.

● Ἐὰν λειτουργῇ Ἀρχιερεύς, ἐκφωνεῖ οὗτος τὰς Εὐχάς, ὡς καὶ τὰς καταληκτηρίους δοξολογικὰς «ἐκφωνήσεις» αὐτῶν, γονυπετὴς ὢν εἰς τὸ μέσον τοῦ Σωλέου, ὅπου ἔχει τεθῆ εἰδικὸν κάθισμα (θρονίσκος), ἐστραμμένος πρὸς ἀνατολάς.

**ς.** Εἰς τὰ Εἰρηνικά, ἡ συνήθης αἴτησις «Ὑπὲρ τοῦ ῥυσθῆναι...», διαμορφώνεται ὡς ἑξῆς:

*«Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς τε καὶ τὸ Ἔθνος ἡμῶν ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, ἔτι δέ, καὶ τῆς ἐνεστώσης δεινῆς περιστάσεως, τοῦ Κυρίου δεηθῶμεν».*

**ζ.** Εἰς τοὺς Αἴνους, τίθεται εἰς προσκύνησιν τὸ ἱερὸν Λείψανον τῆς Ἁγίας Ὁσιομάρτυρος Φιλοθέης, ἡ δὲ ἱερὰ Αὐτῆς Εἰκὼν ἔχει τεθῆ ἐξ ἀρχῆς τῆς Ἀγρυπνίας εἰς τὸ Προσκυνητάριον.

**η.** Εἰς τὴν Μεγάλην Ἐκτενῆ Δέησιν, μετὰ τὰ Ἁγιογραφικὰ Ἀναγνώσματα:

**1. Π**ροστίθενται, μετὰ τὴν δέησιν ὑπὲρ τοῦ Ἀρχιερέως, αἱ ἑξῆς δεήσεις:

*«**Ἔ**τι δεόμεθα, ὅπως Κύριος ὁ Θεὸς ἡμῶν, ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν Αὐτοῦ, δώῃ ἡμῖν μετάνοιαν καὶ ἄφεσιν τῶν ἀνομιῶν ἡμῶν».*

*«**Ἔ**τι δεόμεθα, ὅπως Κύριος ὁ Θεὸς ἡμῶν, ὁδηγήσῃ τὰ δια-*

*βήματα ἡμῶν εἰς πᾶν ἔργον ἀγαθὸν καὶ εἰς τρίβους μετανοίας, στηρίζων ἡμᾶς ἐν τῷ πλήθει τοῦ ἐλέους Αὐτοῦ καὶ τῆς Πατρικῆς Αὐτοῦ ἀγάπης».*

*«Ἔτι δεόμεθα, ὅπως Κύριος ὁ Θεὸς ἡμῶν, ἐν τῇ ἐνεστώσει δεινῇ ταύτῃ περιστάσει τοὺς Ἔθνους ἡμῶν καὶ τοῦ κόσμου παντός, ἐπιβλέψῃ ἐπὶ τὸν ἐπισυναχθέντα Λαὸν Αὐτοῦ, καὶ παράσχῃ Αὐτῷ πᾶσαν εὐλογίαν πνευματικήν, γενόμενος βοηθὸς καὶ καταφυγὴ Αὐτοῦ».*

**2. Ἀ**ντὶ τῆς συνήθους Εὐχῆς τῆς Ἐκτενοῦς Ἱκεσίας, ἀναγινώσκεται ἑτέρα Εὐχή, τοῦ Ἁγίου Καλλίστου Πατριάρχου Κωνσταντινουπόλεως, ἐπίσης καταλλήλως διαμεμορφωμένη καὶ συμπεπληρωμένη διὰ τὴν περίστασιν (βλ. συννημένως).

● Ἡ τετάρτη αὕτη Εὐχὴ ἀναγινώσκεται ὡς καὶ αἱ προηγούμεναι τρεῖς Εὐχαί, τοῦ Ἀρχιερέως ὄντος γονυπετοῦς ἐντὸς πλέον τοῦ ἱεροῦ Βήματος, κατέναντι τῆς Ἁγίας Τραπέζης, ἐστραμμένου καὶ πάλιν πρὸς ἀνατολάς.

**θ.** Αἱ *Ἀγρυπνίαι Μετανοίας* ἄρχονται, σὺν Θεῷ, τὴν 21:30΄.

*Ἐν Φυλῇ Ἀττικῆς*
*τῇ 13ῃ Ὀκτωβρίου 2014 ἐκ. ἡμ.*
*† Μνήμη τῶν Ἁγίων Πατέρων*
*τῆς Ζ΄ Ἁγίας Οἰκουμενικῆς Συνόδου*

*Ἐλάχιστος Διάκονος,*
*τῶν τοῦ Χριστοῦ Προβάτων,*
*Λεντίῳ Ζωννύμενος*
*† ὁ Ὠρωποῦ καὶ Φυλῆς Κυπριανὸς*



# Εὐχὴ Ἀντιφώνου Α΄.

Τοῦ Κυρίου, δεηθῶμεν!

Κύριε Παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου· ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, σὺν παντὶ τῷ κόσμῳ αὐτῶν· ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός Σου· ὁ κλείσας τὴν ἄβυσσον, καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί Σου· Ὅν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς Σου· ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης Σου, καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοῖς ἀπειλῆς Σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ Ἔλεος τῆς ἐπαγγελίας Σου.

Σὺ γὰρ εἶ Κύριος ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων· Σύ, Κύριε, κατὰ τὸ πλῆθος τῆς χρηστότητός Σου ἐπηγγείλω μετάνοιαν, καὶ ἄφεσιν τοῖς ἡμαρτηκόσι Σοι, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν Σου, ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν.

Σὺ οὖν, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, οὐκ ἔθου μετάνοιαν δικαίοις, τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσι Σοι, ἀλλ᾽ ἔθου μετάνοιαν ἐφ᾽ ἡμῖν τοῖς ἁμαρτωλοῖς, διότι ἡμάρτομεν ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης· ἐπλήθυναν αἱ ἀνομίαι ἡμῶν, Κύριε, ἐπλήθυναν αἱ ἀνομίαι ἡμῶν καὶ οὔκ ἐσμεν ἄξιοι ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ, ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν ἡμῶν, κατακαμπτόμενοι πολλῷ δεσμῷ σιδηρῷ, εἰς τὸ μὴ ἀνανεῦσαι τὴν κεφαλὴν ἡμῶν, καὶ οὔκ ἐστιν ἡμῖν ἄνεσις· διότι παρωργίσαμεν τὸν θυμόν Σου, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποιήσαμεν, μὴ ποιήσαντες τὸ θέλημά Σου, καὶ μὴ φυλάξαντες τὰ προστάγματά Σου.

Καὶ νῦν, κλίνομεν γόνυ καρδίας, δεόμενοι τῆς παρὰ Σοῦ χρηστότητος· ἡμάρτομεν, Κύριε, ἡμάρτομεν, καὶ τὰς ἀνομίας ἡμῶν ἡμεῖς γινώσκομεν· ἀλλ᾽ αἰτούμεθα δεόμενοι· ἄνες ἡμῖν, Κύριε, ἄνες ἡμῖν, καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακὰ ἡμῖν, μηδὲ καταδικάσῃς ἡμᾶς ἐν τοῖς κατωτάτοις τῆς γῆς· διότι Σὺ εἶ Θεός, Θεὸς τῶν μετανοούντων, καὶ ἐν ἡμῖν δείξεις πᾶσαν τὴν ἀγαθωσύνην Σου· ὅτι ἀναξίους ὄντας, σώσεις ἡμᾶς κατὰ τὸ πολὺ Ἔλεός Σου, καὶ αἰνέσομέν Σε διὰ παντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς ἡμῶν.

Ὅτι Σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ Σοῦ ἐστιν ἡ δόξα, σὺν τῷ Μονογενεῖ Σου Υἱῷ, καὶ τῷ Παναγίῳ Σου Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

# Εὐχὴ Ἀντιφώνου Β΄.

Τοῦ Κυρίου, δεηθῶμεν!

Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ μόνος ἐν ἐλέει πλούσιος· ὁ καὶ σπλάγχνοις χρηστότητος ἐπικαμπτόμενος ἐπὶ ταῖς δεήσεσιν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων Σου· ὁ πάντα συμφερόντως τὰ καθ᾽ ἡμᾶς διϊθύνων καὶ διακυβερνῶν· ὁ τῇ σοφῇ Σου προνοίᾳ τὸν ἡμέτερον βίον διεξάγων.

Αὐτός, Δέσποτα Παντοκράτορ, ἔπιδε ἐφ᾽ ἡμᾶς, καὶ πρόσχες ταῖς δεήσεσιν ἡμῶν τῶν ἁμαρτωλῶν· τὸ γὰρ πλῆθος τῶν ἀνομιῶν ἡμῶν, ἀπαρρησιάστους ἡμᾶς πεποίηκε, καὶ μηδὲ τολμᾶν ὅλως αἰτεῖσθαι τὴν τῶν ἐπταισμένων συγχώρησιν· ἀλλ᾽ εἰδότες Σου τὸ φιλάνθρωπον, τὸ εὔσπλαγχνον, τὸ πολυέλεον, τὸ μακρόθυμον, τὸ ἀνεξίκακον, καὶ τὸ ὑπεράγαθον, καὶ ἀποτολμῶντες τῷ βάθει τούτων καὶ τῷ πελάγει τῆς χρηστότητός Σου, αἴρομεν χεῖρας καὶ ἐκτενῶς βοῶμέν Σοι.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠσεβήσαμεν, ὅτι ἐπιλαθόμεθα τῶν ἐντολῶν Σου, καὶ ὀπίσω τῆς διανοίας ἡμῶν τῆς πονηρᾶς ἐπορεύθημεν· ὅτι ἀναξίως τῆς κλήσεως τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ Σου πεπολιτεύμεθα· Ἱερεῖς καὶ Λαός Σου ἐξέστημεν ἐπὶ τὸ αὐτό· πάντες ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν, οὐκ ἔστι ποιῶν κρῖμα καὶ δικαιοσύνην, οὐκ ἔστιν ἕως ἑνός.

Ἀλλὰ κόπασον, Κύριε· ἄνες, Κύριε· ἱλάσθητι, Κύριε· μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὰς ἀνομίας ἡμῶν, μηδὲ διὰ τῶν ἡμετέρων μαστίγων παιδεύσῃς ἄλλους· ἡμεῖς γὰρ Λαός Σου, καὶ ῥάβδος κληρονομίας Σου· διὰ τοῦτο, παίδευσον ἡμᾶς· πλὴν ἐν χρηστότητι, καὶ μὴ τῷ θυμῷ Σου· κόπασον τὴν θραῦσιν τῆς ὀργῆς Σου, ἐξαιτούμεθα, ὡς ἐπὶ τοῦ Δαβὶδ πάλαι τὴν ἐπὶ τῷ Λαῷ Σου, κἂν οὐχ ὁμοίαν καὶ τὴν μετάνοιαν ἐπιδεικνύμεθα· καὶ δὸς ἐν πάσῃ ἀγαθοεργείᾳ εὐαρεστεῖν Σοι.

Πρεσβείαις τῆς ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· προστασίαις τῶν ἁγίων καὶ θεοειδῶν Ἀγγέλων, καὶ πάντων τῶν Ἁγίων.

Ὅτι Σὺ εἶ ἡ τοῦ ἐλέους πηγή, καὶ τῆς εὐσπλαγχνίας ἀνεξιχνίαστος ἄβυσσος, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ ἀνάρχῳ Πατρί, σὺν τῷ Μονογενεῖ Σου Υἱῷ καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.



# Εὐχὴ Ἀντιφώνου Γ΄.

Τοῦ Κυρίου, δεηθῶμεν!

Δέσποτα Παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ Πατὴρ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐν ἐλέει ἀμέτρητος καὶ ἐν φιλανθρωπίᾳ ἀνείκαστος· ὁ καὶ ῥήμασι πατρικοῖς προσκαλῶν τοὺς ἀπειθεῖς τοῦ Νόμου Σου, καὶ παραβάτας τῶν Ἐντολῶν Σου· καὶ διαφόροις τρόποις, τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν πανσόφως οἰκονομῶν, καὶ φιλανθρώπως προνοούμενος.

Σοὶ τοίνυν, τῷ Προνοητῇ καὶ Κηδεμόνι τοῦ παντός· τῷ μὴ θέλοντι τῶν ἁμαρτωλῶν τὴν ἀπώλειαν, ἀλλὰ τὴν ἐπιστροφὴν καὶ σωτηρίαν· προσπίπτοντες μετὰ κλαυθμοῦ καὶ συντετριμμένης καρδίας, δεόμεθά Σου ἐκτενῶς, ὅπως ἐπαγάγῃς τὸ Ἔλεός Σου ἐφ᾽ ἡμᾶς, καὶ ἐλευθερώσῃς πάντας τοὺς ἐπικαλουμένους Σε ἐν ὅλῃ καρδίᾳ τῆς ἐνεστώσης συμφορᾶς καὶ ἀνιαρᾶς περιστάσεως.

Οἴδαμεν, Κύριε, οἴδαμεν, ὅτι διὰ τὰς πολλὰς ἁμαρτίας, ἃς καθ᾽ ἑκάστην ἀσυνειδήτως πράττομεν, ἀπέστρεψας τὸ Πρόσωπόν Σου ἀφ᾽ ἡμῶν, καὶ ἐκάλυψεν ἡμᾶς σκιὰ θανάτου· ἀλλὰ μὴ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, διὰ τὸ Ὄνομά Σου τὸ ἅγιον, μηδὲ ἀποδοκιμάσῃς ἡμᾶς ἐκ τῆς τάξεως τῶν ἐκλεκτῶν Σου, καὶ καλύψῃ ἡμᾶς αἰσχύνη, ἐναντίον τῶν τε ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν ἡμῶν.

Ὁμολογοῦμεν, ὅτι ὅλως ἀναξίως, ναί, Κύριε, τῆς προσηγορίας τοῦ χριστιανισμοῦ ἐπορεύθημεν, παραβάντες ἀδεῶς τοὺς Νόμους Σου· καὶ ἀθεμίτοις ἔργοις καὶ ἐναγέσι πράξεσιν, ὅλον τὸν πλοῦτον τῆς θείας Σου Χάριτος καταδαπανήσαντες, ὁλικῶς ἐξ αὐτοῦ ἐγυμνώθημεν, καὶ τῷ πονηρῷ πολίτῃ ἀνοήτως ἐδουλώθημεν· ἀλλ᾽ ἐπὶ Σὲ πάλιν, τὸν φιλόστοργον ἡμῶν Πατέρα, μετανοοῦντες ἐπιστρέφομεν, καὶ ὡς ὁ ἄσωτος υἱός, μετὰ κλαυθμοῦ βοῶμεν· ἡμάρτομεν, Πάτερ, ἐνώπιόν Σου, καὶ οὔκ ἐσμεν ἄξιοι κληθῆναι υἱοί Σου· δέξαι εὐμενῶς τὴν μετάνοιαν ἡμῶν, καὶ ὁδήγησον τὰ διαβήματα ἡμῶν εἰς τρίβους μετανοίας, στηρίζων ἡμᾶς ἐν τῷ Σῷ φόβῳ καὶ ἐν τῇ Σῇ ἀγάπῃ.

Προστασίαις τῆς Ὑπερευλογημένης Θεοτόκου· δυνάμει τοῦ Ζωοποιοῦ Σταυροῦ· ἱκεσίαις τοῦ Τιμίου Προδρόμου Ἰωάννου, καὶ πάντων Σου τῶν Ἁγίων.

Ὅτι Σόν ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Φιλανθρώπῳ Πατρί, σὺν τῷ Εὐσπλάγχνῳ Σου Υἱῷ, καὶ τῷ Ἀγαθῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

# Εὐχὴ Ἐκτενοῦς Ἱκεσίας

**Τοῦ Κυρίου, δεηθῶμεν!**

Ἄναρχε Βασιλεῦ, ἀόρατε, ἀνεξιχνίαστε, ἀκατάληπτε, ἀνέκφραστε· ὁ πᾶσαν δρακὶ περιέχων τὴν κτίσιν καὶ διατηρῶν· ὁ διακατέχων καὶ διακυβερνῶν αὐτήν, ἀῤῥήτῳ λόγῳ· ὁ τῶν Νινευϊτῶν τὰς ἀνομίας, πρότερον μὲν ἀνεχόμενος, ὕστερον δὲ τὴν μετάνοιαν αὐτῶν καὶ ἐπιστροφὴν προσδεξάμενος καὶ χαρισάμενος αὐτοῖς, δι᾽ ὑπερβάλλουσαν ἀγαθότητα καὶ μακροθυμίαν, πάσας τὰς ἀνομίας καὶ τὰ πλημμελήματα τῇ συνήθει καὶ ἀφάτῳ Σου φιλανθρωπίᾳ δεξάμενος.

Δέξαι καὶ ἡμῶν τὰς εὐχάς, καθάπερ, ὡς εἴρηται, τῶν Νινευϊτῶν τὴν ἐπιστροφὴν καὶ μετάνοιαν· δέξαι τὰ δάκρυα καὶ τοὺς στεναγμούς· δέξαι τὴν τεταπεινωμένην ἡμῶν δέησιν· οὐδὲ γὰρ δυνάμεθα, ὅλως ταῖς ἁμαρτίαις γενόμενοι, πρὸς Σὲ τὸν μόνον ἀναμάρτητον ἀτενίζειν· δέξαι τὰς ἐκ βάθους, ὡς δίκην καπνοῦ, ἀναπεμπομένας Σοι τῷ Παντάνακτι κραυγάς· δέξαι τοῦ ταλαιπωρημένου Λαοῦ τὴν παράκλησιν· νικησάτω ἡ ἄβυσσος τῆς Σῆς εὐσπλαγχνίας τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν· καὶ δὸς τῷ Λαῷ Σου λύτρωσιν καὶ ἐλευθερίαν τῶν πειρασμῶν ἐν ταῖς ἡμέραις ταύταις τῆς ἐνεστώσης θλίψεως καὶ δεινῆς δοκιμασίας τοῦ Γένους καὶ τῆς Πατρίδος ἡμῶν καὶ τοῦ Κόσμου παντός.

Κράζομεν πρὸς Σὲ τὸν εὐδιάλλακτον Κύριον· Σῶσον ἡμᾶς, πολυέλεε Δέσποτα· οὐ φαρισαϊκῶς τὰς ᾠδὰς ἡμῶν καὶ ὑμνῳδίας ἀναφέρομεν, ἀλλὰ τελωνικῶς· οὐδὲ κατὰ τὸν ἀγνώμονα ἐκεῖνον λῃστήν, ἀλλὰ κατ᾽ αὐτὸν τὸν εὐγνώμονα καὶ εὐχάριστον βοῶμέν Σοι τό· Μνήσθητι ἡμῶν, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου.

Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπάκουσον τοῦ Λαοῦ Σου ἐν τῇ ὥρᾳ ταύτῃ τῇ δεινῇ καὶ ὀδυνηρᾷ· ἔπιδε ἐπὶ τὸν Λαόν Σου, τὸν ἐπισυναχθέντα ἐπ᾽ ἐλπίδι τῆς παρὰ Σοῦ εὐλογίας· καὶ εὐλόγησον ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ· καὶ μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεός, ἀπὸ τῆς προσδοκίας ἡμῶν, ἀλλὰ γενοῦ βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν, ἕως ἂν παρέλθῃ ἡ δικαία ὀργή Σου.

Ὅπως καὶ δι᾽ ἡμῶν, τῶν Σῶν ἀχρείων δούλων, δοξασθῇ τὸ πανάγιον Ὄνομά Σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

